ΗΛΕΚΤΡΑ.

*Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος*
*οὐδὲ πάθος οὐδὲ ξυμφορὰ θεήλατος,*
*ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.*
*ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,*
*Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος*
*κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον*
*ἀέρι ποτᾶται καὶ τίνει ταύτην δίκην,*
*ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν*
*κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,*
*ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.*
*οὗτος φυτεύει Πέλοπα, τοῦ δ' Ἀτρεὺς ἔφυ,*
*ᾧ στέμματα ξήνασ' ἐπέκλωσεν θεὰ*
*ἔριν Θυέστῃ πόλεμον ὄντι συγγόνῳ*
*θέσθαι. τί τἄρρητ' ἀναμετρήσασθαί με δεῖ;*
*ἔδαισε δ' οὖν νιν τέκν' ἀποκτείνας Ἀτρεύς.*
*Ἀτρέως δέ· τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας·*
*ὁ κλεινός, εἰ δὴ κλεινός, Ἀγαμέμνων ἔφυ*
*Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.*
*γαμεῖ δ' ὃ μὲν δὴ τὴν θεοῖς στυγουμένην*

---

*εὐριπίδου ἠλέκτρα* suprascr. *S*. Electrae nomen pro Oreste habet etiam schol. Aristid. III p. 603, 6  1 *ΗΛ.* om. *A*, add. $A^2$ | cfr. Cic. Tusc. IV 29 neque tam terribilis ulla fando oratio est nec sors neque ira caelitum invectum malum  2 *συμφορὰν θεήλατον AaB*, *συμφορὰ θεήλατος* $A^2a^2B^2$, *συμφορὰ* (*ξυμφορὰ S*) *θεήλατος* ceteri, *συμφορὰν δαιμόνιον* Dio Chrys. IV 82, cfr. Stob. fl. 98, 42 et schol. *γράφουσί τινες οὐδὲ συμφορὰ θεήλατος, ἀγνοοῦντες δέ· ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ οὐκ ἔστιν ⟨εἰπεῖν⟩*  3 *ἀνθρώπων A* et Lucian. Ocyp. 167  6 *κορυφῆς*] *κεφαλῆς* Dio Chrys. VI 55  7 *δίκην ταύτην B*  10 *ἔσχε*] fort. *εἶχε* | *αἰσχίστην*] fort. *ἐχθίστην*  12—15 delet, 17 *Ἀγαμέμνων ἄναξ* scribens, Klinkenberg  12 *στέμματα*] *στήμονας* Hilberg | *ἐπέκλωσε B*  13 schol. *γράφεται καὶ Ἔρις*  13 sq. *θέσθαι Θυέστῃ . . συγγόνῳ. καίτοι τί* Herwerden  15 *οὐ A*, *οὖν* $A^2$ | *οὖνιν a*, *οὖν νιν* $a^2$  18 *μενέλαος ἐκ κρήσσης τε* $\overline{\mu\rho\varsigma}$ *ἀερόπης L*, *κρήσσης τε* $\overset{β'}{\text{μενέλαος}}$ $\overset{α'}{\overline{\mu\rho\varsigma}}$ *ἀερόπης ἄπο G*